§ 21. Παρὰ πάντα δὲ ταῦτα, ἐκεῖνο εἰπεῖν ἄξιον. Πάντων ἐστὶν ἀλογώτατον, ὦ Τρῶες, τὰ μὲν ἐγκλήματα ἑτέρων εἶναι, τὴν δὲ τιμωρίαν ἑτέρους ὑπέχειν. Καὶ τοὺς μὲν ἠδικηκότας ἀθώους ἀφεῖσθαι, τοσούτοις δὲ ὕστερον χρόνοις, ἄλλους ἀντ' ἐκείνων πάσχειν κακῶς. Οἷόν τι λέγω;[2] Κρῆτες ἠδικήκασιν; Κρησὶν ἐγκάλει. Ἰάσων ἥμαρτεν; εἰσπράττου τὴν τιμωρίαν τοὺς Ἰάσωνος οἰκείους. Νῦν δὲ Κρῆτες μὲν καὶ Θετταλοὶ κατὰ συμμαχίαν[3] στρατεύουσι· Μενέλεως δὲ μηδὲν ἐγκαλούμενος, ὑπὲρ τῶν ἑαυτοῦ συμφορῶν, ἐκείνους συνήγαγε. Καὶ οἱ μὲν[4] τὰς προφάσεις δεδωκότες ἄλλοις ἐπαμύνουσιν. Ὁ δὲ καθαρὸς αἰτίας, ἐκείνων εἰς ἐπικουρίαν δεδέηται.

§ 22. Καίτοι καὶ Κρησὶ καὶ Θετταλοῖς, λόγος ἐστὶν ὑπάρχων[2] ἰσχυρός. Οὐ γὰρ ἡμεῖς γε φήσουσιν, οἱ νῦν ὄντες οὐδὲν τοὺς βαρβάρους ἀφειλόμεθα· ἀλλ' οὐδὲ ἴσμεν τὸ παράπαν εἴ τις Εὐρώπη γέγονεν. Εἰ δὲ μὴ συκοφαντία ταῦτα ἦν, ἐχρῆν τοῖς προγόνοις ἐγκαλεῖν, οὓς καταμέμφεσθε ταῦτα ἡμαρτηκέναι. Εἰ μὲν οὖν οὐ κατεμέμψασθε τὴν ἀρχήν, τί νῦν ἐνοχλεῖτε; τί δὲ μεταφέρετε τὰς αἰτίας ἐπὶ τοὺς ὕστερον γενομένους; εἰ δὲ μεμφομένων κατεγέλων, ἔδει τοῖς ὅπλοις χρήσασθαι. Ὅτε τοίνυν[3] καὶ τοῖς ἐγγόνοις τῶν δοκούντων ἡμαρτηκέναι, πολλῆς εὐηθείας ἐγκαλεῖν; ἤπου πλείστης ἀναιδείας, τὸ τοὺς μηδὲν ἐκείνοις προσήκοντας ἀδικεῖν.

§ 23. Οὕτω δὲ πανταχόθεν ἀνέστραπται τὸ πρᾶγμα, ὥστε οὐ μόνον μὲν ὁ χρόνος τῆς τιμωρίας πολὺ τῶν ἐγκλημάτων νεώτερος· οἱ δὲ μηδὲν ἠδικηκότες ἀντὶ τῶν ἡμαρτηκότων ἕλκονται. Ἀλλὰ καὶ τὸ τρίτον τῆς αὐτῆς ἀλογίας, ἀντὶ Φοινίκων καὶ Σκυθῶν,[2] Ἀλέξανδρος ἐπὶ τὴν τιμωρίαν ἥκει. Ὥσπερ ἐκείνων ἢ παροξύνεσθαι τοῖς γεγενημένοις οὐκ εἰδότων, ἢ δίκην ὑπὲρ αὐτῶν οὐ δυναμένων λαβεῖν; Καὶ μὴν εἰ μὲν οὐδὲν ἐφρόντιζον ἐκεῖνοι[3] τῶν πεπραγμένων, πῶς ὑμᾶς ἀγανακτεῖν ἄξιον; εἰ δὲ ἀλγοῦντες, ὅμως ἡσύχαζον, τί δεῖ χαρίζεσθαι τοῖς ὑπὲρ αὐτῶν οὐ κινουμένοις; Θαυμάζω δὲ, εἰ μελλούσης μὲν τῶν κινδυνεύειν τῆς πόλεως, οὐδεὶς ἐκείνων ἐπιστρέφεται· οὐδ' οἰδέναι βούλεται τὸ παράπαν. Οὔτ'

§ 21. 2. Οἷόν τι λέγω.) Τοιουτόν τι ἐστὶν ὃ λέγω· καὶ ἔστι τὸ ὅλον ἀντὶ ἐξηγηματικοῦ ἐπιῤῥήματος· ἐντεῦθεν καὶ τὸ Οἷον, εἰς ἐξηγηματικὸν μετέπεσεν ἐπίῤῥημα κατ' ἔλλειψιν τῶν λοιπῶν συντομίας χάριν. — 3. Κατὰ συμμαχίαν.) Ὡς σύμμαχοι δηλ. τοῖς Ἕλλησιν. Σημείωσαι δὲ ὅτι Θετταλοὺς ἀναφέρει ἐνταῦθα διὰ τὸν Ἰάσωνα Θετταλὸν ὄντα. — 4. Καὶ οἱ μέν.) Κρῆτες καὶ Θετταλοί.

§ 22. 2. Ἐστὶν ὑπάρχων.) Ἀντὶ τοῦ Ἐστὶν ἁπλῶς· παρέλκει γὰρ θάτερον. — 3. Ὅτε τοίνυν.) Ἀντὶ ἐπειδὴ τοίνυν πολλῆς εὐηθείας ἄξιόν ἐστι τὸ ἐγκαλεῖν τοῖς ἐγγόνοις ἐκείνων, οἵτινες ἡμαρτηκέναι ἔδοξαν· ἤπου καὶ τλ.

§ 23. 2. Καὶ Σκυθῶν.) Οἱ γὰρ Κόλχοι, ὅθεν ἡ Μήδεια, Σκύθαι ἦσαν. — 3. Ἐκεῖνοι.) Οἱ Φοίνικες καὶ Σκύθαι.



Εκ. Σπ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἴ τις Ἀλέξανδρος ὑπὲρ αὐτῶν Ἑλένην ἥρπασεν, οὔτ' εἴ τινες πόλεμον προσβαλοῦσιν ἀντὶ τούτων[4] Ἰλίῳ, ὑμεῖς δὲ ὑπὲρ τούτων οὕτω διακείμενοι, παροξύνεσθαι φήσετε. Μωρία ταῦτα, καὶ οὐδὲν ὑγιές.

§ 24. Χωρὶς δὲ τούτων, εἰ μέν ἐστιν ἐφ' ὑμῖν μέχρι παντὸς παροινεῖν, δίκαιον μὲν οὐδαμῶς· χρῆσθε δὲ εἰ βούλεσθε, τούτῳ. Εἰ δὲ μείζων ὁ φόβος τῆς ἐξουσίας,[2] καὶ τὸ προσκαθήμενον στρατόπεδον οὐκ ἐᾷ τρυφᾶν, τί ἄν τις ληροίη περὶ τῆς Εὐρώπης, τῶν ὅπλων οὐκ ἐώντων μυθολογεῖν; Καὶ γὰρ εἰ μὲν ἤρκει τοῖς Ἕλλησι ταῦτα ἀκούσασι τὴν ταχίστην ἀποπλεῖν, εἶχεν ἂν ἴσως τι χρηστὸν ἡ περὶ ταῦτα διατριβή. Εἰ δὲ δυοῖν θάτερον, ἢ διὰ τῆς Ἑλένης ὑμᾶς πρίασθαι τὴν ἀσφάλειαν, ἢ τῶν ἀλλοτρίων ἐπιθυμοῦντας, ὑπὲρ τῶν οἰκείων κινδυνεύειν· λάβετε λογισμὸν[3] περὶ τῆς πρεσβείας ὀρθόν. Τίς δὲ οὗτός[4] ἐστι; Μὴ μᾶλλον ὑπὲρ τῶν ἀπεσταλκότων, ἢ ὑμῶν τῶν δεξαμένων νομίζειν αὐτὴν[5] γεγενῆσθαι. μηδὲ ἀποστερῆσθαι τινὸς ὑπολαμβάνειν, εἰ τὴν Ἑλένην ἡμεῖς ἀποληψόμεθα· ἀλλὰ τὰ μέγιστα ἡγεῖσθαι κερδαίνειν, εἰ τὴν Ἑλένην λαβόντες ἀρκεῖν ἡγησόμεθα.

§ 25. Εἰ μὲν γάρ ἐστί τις ὑμῖν ἐγγυητὴς θεῶν, (καὶ τοῦτο οἱ μάντεις ὑπισχνοῦνται σαφῶς) ὡς εἰ τὸ πρᾶγμα εἰς πόλεμον προβαίη, καὶ τοῖς ὅπλοις τὴν κρίσιν ἐπιτρέψαιμεν, ἧττα μὲν τοῖς ἠδικημένοις ἀπόκειται, τὰ δὲ τῆς τύχης[2] μεθ' ὑμῶν τῶν ἠδικηκότων στήσεται. Οὐκ ἂν παραινέσαιμεν ὑμῖν μὴ χρήσασθαι τοσαύτῃ πλεονεξίᾳ. Εἰ δὲ τὸ μᾶλλον ἀκριβῶς μὲν[2] οὐκ ἔστι προϊδεῖν· τοῖς δὲ λογισμοῖς ἀκολουθῶν τις, οὐκ ἂν εὕροι χαλεπῶς ὁποτέροις μένει τὸ τοῦ πολέμου κράτος. Ἐξετάσατε παρ' ὑμῖν αὐτοῖς, ποτέρως ἂν ὑμῖν ἔχοι καλῶς. Πότερον εἰ[3] μετὰ τοῦ τῆς Ἑλένης ὕστερον στέρεσθαι, καὶ τὴν πόλιν προσαποβάλοιτε, ἢ εἰ τὴν Ἑλένην ὑπὲρ τῶν ὅλων ἀποδοίητε.

§ 26. Εἶτά μέ τις ἐρωτᾷ. Τί οὖν; ἐξὸν ὑμῖν τῶν ἡμετέρων κρατῆσαι, φείδεσθε τῶν δυσμενῶν. Ὅτι νῦν οὐ κακὸν ποιήσοντες ἑτέρους ἥκομεν, ἀλλ' ἅ γε ἀφῃρέθημεν κομιούμενοι, ὧν τε ἠδικήμεθα δίκας ἄνευ ὅπλων προσληψόμενοι. Οὔκουν ἀξιοῦμεν[2] πρὶν ἢ καὶ χωρὶς πραγμάτων τευξόμεθα τῶν δικαίων, εἰδέναι πόλεμον ἐπιφέρειν τοῖς χωρὶς ἀνάγκης ἴσως ἀντιβουλευσαμένοις μέτριον.

— 4. Ἀντὶ τούτων.) Ἀνθ' ὧν Ἀλέξανδρος Ἑλένην ὑπὲρ αὐτῶν ἥρπασεν.

§ 24. 2. Τῆς ἐξουσίας.) Παραθετικῶς πρὸς τὸ Μείζων. — 3. Λάβετε λογισμόν.) Ἀντὶ λογίζεσθε ὀρθῶς. — 4. Τίς δὲ οὗτος.) Ὁ ὀρθὸς λογισμός. — 5. Αὐτήν.) Τὴν πρεσβείαν.

§ 25. 2. Τὰ δὲ τῆς τύχης.) Ἀντὶ Ἡ δὲ τύχη. — 3. Εἰ.) Ἀντὶ τοῦ ἄρα γε.

§ 26. 2. Οὔκουν ἀξιοῦμεν καὶ τλ.) Οὐκ ἀξιοῦμεν ἐπιφέρειν πόλεμον τοῖς δυναμένοις χωρὶς ἀνάγκης βουλεύσασθαί τι μέτριον ἴσως, πρὶν, ἢ εἰδέναι, εἰ καὶ χωρὶς πολέμου τευξόμεθα τῶν δικαίων.

Ἵν' οὖν μὴ δῶμεν ἀφορμὴν τοῖς ἐπιθυμοῦσι βλασφημεῖν, ὡς οὐχ ἡ τῆς ὕβρεως ὀργὴ τὴν στρατείαν παρεσκεύασεν, ἀλλ' ὁ πλοῦτος τῆς Πριάμου πόλεως, πᾶσι βουλόμεθα καταστῆσαι σαφῶς καὶ Θεῷ καὶ ἀνθρώποις, ὅτι καὶ Μενέλεῳ καὶ πᾶσιν ἡμῖν ἀπόχρη, κατὰ πολλὴν ἡσυχίαν τῶν δικαίων τυχεῖν. Ὑπὲρ μὲν οὖν τούτων πλείω λέγειν, οὐκ οἴομαι δεῖν. Οὐ γὰρ ἐνδεῶς εἰρῆσθαί μοι δοκῶ· ἐπάνειμι δὲ ὅθεν ἐξέβην.

§ 27. Ἅπασι μὲν ἀνθρώποις, ὦ Τρῶες, εἰρήνη μὲν καλόν· πόλεμος δὲ δυστυχές. Καὶ τῆς μὲν ἀνθεκτέον· τὸν δὲ φευκτέον. Ὡς ἐκείνης μὲν ὀρθούσης τὰς πόλεις, τούτου δὲ καταστρέφειν εἰωθότος. Καὶ τὴν μὲν ἄξιον καὶ παροῦσαν φυλάττειν, καὶ ἀποῦσαν, ὅπως ἔσται ζητεῖν. Τὸν δὲ καὶ ἐπικείμενον λύειν· καὶ προσδοκώμενον, ὅπως μὴ γενήσεται προνοεῖν. Ἁπάντων δὲ ἀνθρώπων εἰκότως ἂν ταύτην περὶ αὐτῶν[2] ἐχόντων τὴν κρίσιν, ὑμῖν πολὺ πλέον τῶν ἄλλων φροντιστέον. Καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τοῖς πᾶσιν ἀγαθοῖς ἀνθοῦσαν οἰκεῖτε πόλιν. Καὶ λόγος πανταχοῦ πεφοίτηκεν, εὐδαιμονέστατον ἀνθρώπων εἶναι Πρίαμον, καὶ αὐτὸν καὶ τοὺς ἀρχομένους. Ὅσοις μὲν γὰρ τῶν ἀνθρώπων οὐκ εὖ τὰ πράγματα ἕστηκε, τούτους μὲν οὐδὲν ἀπεικὸς, ἑτοίμους ἐπὶ τὸ πολεμεῖν χωρεῖν. Ἢ γὰρ κρατήσαντες, ἀλλοτρίων ἀγαθῶν ἐγένοντο δεσπόται, ἢ σφαλέντες, οὐκ ἐν μεγίστοις ἐζημιώθησαν. Ὑμῖν δὲ καὶ τοῖς ἐγγύτατα[3] ὑμῖν εὐδαιμονίας ἥκουσι, πολλῆς δεῖ τῆς βουλῆς, εἰ πόλεμον πρὸ εἰρήνης αἱρετέον· μᾶλλον δὲ οὐδὲ βουλεύσασθαι τοῖς οὕτως ἔχουσιν ἄξιον. Εἰ μὴ νὴ Δία βουλῆς δεῖσθαι φήσουσιν εἰς τὸ μαθεῖν, πότερον ἡ τῶν ὑπαρχόντων ἀπόλαυσις ἄμεινον, ἢ τούτων στερῆσθαι.

§ 28. Ἐξετάσωμεν, ὦ Τρῶες, τὰ παρόντα ὑμῖν ἀγαθὰ τοῖς χαλεποῖς ἐκείνοις παραβάλλοντες. Δεῖ δὲ οὐδὲν εὐλαβεῖσθαι τὸ βλάσφημον τοῦ λόγου. Ἃ γὰρ ἐφ' ὑμῖν ἐστιν μὴ παθεῖν, τί ἂν τὴν τούτων ἀκοὴν δυσχεραίνοιτε; Ἆρ' οὖν ἴσον[2] ἢ παραπλήσιον ἔξω κινδύνων ἐν εὐπαθείᾳ διάγειν, ἢ μεθ' ὅπλων ἐν αἵματι, καὶ χρηστὰς ἐλπίδας ἔχειν, περὶ τῶν συγγενῶν ἢ τὴν παροῦσαν ἡμέραν, ἀεὶ τελευταίαν ἡγεῖσθαι, καὶ καλεῖν συμμάχους, ὧν οἱ μὲν οὐδὲ τὴν ἀρχὴν ἥξουσιν, οἱ δὲ ἄκοντες ἐλθόντες, ἐθελοκακήσουσιν ἐπὶ τῆς χρείας. Ἐκεῖνο δὲ ἴσον[3] ἢ παρόμοιον, εὐφημίας ἢ μίσους παρὰ τῶν περιοίκων τυγχάνειν; Οὐκ ἴστε ὅτι νῦν μὲν ἅπαντες ὑμῖν καὶ τοῖς

---

§ 27. 2. Περὶ αὐτῶν.) Πολέμου δηλ. καὶ εἰρήνης. — 3. Καὶ τοῖς ἐγγύτατα.) Καὶ ὅσοι πολλὰ πλησίον ὑμῶν εἰσὶν ἐν εὐδαιμονίᾳ.

§ 28. 2. Ἆρ' οὖν ἴσον.) Ἐννοεῖται Ἐστίν. — 3. Ἐκεῖνο δὲ ἴσον.) Ἐννοεῖται Ἐστίν· οἷον· Τὸ τυγχάνειν εὐφημίας ἢ τυγχάνειν μίσους παρὰ τῶν περιοίκων

ὑμετέροις πράγμασι συνεύχονται τὰ βελτίω, εἰ δὲ ὁ πόλεμος ἐμπέσοι, πρῶτοι τῶν ἀνιαρῶν[4] αἰσθήσονται, περιπλεόντων ἡμῶν καὶ ληϊζομένων τὸ προστυχὸν, καὶ τὰς μὲν τῶν πόλεων περικοπτόντων, τὰς δὲ ἄρδην ἐξαιρούντων. Καὶ μήτε θάλατταν μήτ᾽ ἤπειρον τὴν ὑμῖν ὅμορον, ἔξω τῶν κακῶν ἀφιέντων. Οἱ δὲ τοιαῦτα δι᾽ ἡμᾶς ὑπομένοντες, ὦ πρὸς θεῶν, ἔσθ᾽ ὅπως ἂν ὑμῖν ἔχοιεν εὐμενῶς; Τί δέ ἐστιν ὅπερ οὐκ ἂν ὑμῶν κατεύξαιντο, τῶν σωμάτων αὐτοῖς εἰς θάνατον καὶ δουλείαν δι᾽ ὑμᾶς μεριζομένων; Οὐκοῦν πρὶν ὑμᾶς ἀπώσασθαι, τοῖς ἀστυγείτοσι πολεμίοις χρήσεσθε. Καί τοι τί τῶν ἐν ἀνθρώποις[5] ἀντάξιον τῆς τοσαύτης δυσμενείας;

§ 29. Τὰ κελευόμενα[2] ἡμᾶς ἄρα δεῖ ποιεῖν, ἐρεῖ τις, ὥσπερ οὐκ εἰδότας, ὅτι μηδαμῶς εἴκειν τοῖς πολεμίων λόγοις ἀνδρῶν ἐστίν. Ἡμεῖς δὲ τὸ μὲν ἀφίστασθαι τῶν οἰκείων τοῖς πλεονεκτεῖν ἐπιχειροῦσι φόβῳ τῶν κινδύνων, αἰσχρὸν ἡγούμεθα. Καὶ τοῦτο ἔργῳ δεδηλώκαμεν. Ὅπως γὰρ μηδεὶς Ἑλλήνων τῶν ὑπαρχόντων στεροῖτο, μήτε καταγελάσειαν τῶν πεπονθότων οἱ δεδρακότες, πελάγη μὲν οὕτω μακρὰ διέβημεν· τιμιωτέραν δὲ τὴν τῶν λελυπηκότων τιμωρίαν τῆς μετὰ τῶν φιλτάτων διατριβῆς πεποιήμεθα. Γνώμη δὲ αὕτη νενίκηκεν, ἢ λαβεῖν ταῦθ᾽ ὑπὲρ ὧν ἥκομεν, ἢ μαχομένους, πεσεῖν. Τοῖς μὲν οὖν ὑπὲρ τῶν τοιούτων ἀγωνιεῖσθαι μέλλουσι, τὸ μὴ τολμᾷν πολεμεῖν, δειλίας αἰτίαν ἔχει. Εἰ δέ τινες ἃ μὴ καλῶς ἔλαβον, ἀποδοῦναι δέον, πολεμεῖν μᾶλλον αἱροῖντο, οὐκ ἀνδρείας οὗτοί γε δόξαν, ἀλλ᾽ ἐμπληξίας λαμβάνουσι. Καὶ τοσοῦτον ἀπέχουσι τοῦ δοκεῖν τὶ βεβουλεῦσθαι λαμπρὸν, ὥστε διπλοῦν φέρονται τὸ ὄνειδος· ἐκ μὲν ὧν[3] τὴν ἀρχὴν ἠδίκησαν, πονηρίας· ἐκ δὲ ὧν ἐπὶ πολλῷ κατέχουσιν, ἀναισθησίας. Οὐ γὰρ ἐν τῷ πολεμεῖν ἁπλῶς τὸ τῆς εὐκλείας[4] προσγίνεται· ἀλλ᾽ αἱ τῶν πολέμων προφάσεις, ἢ καλοὺς αὐτοὺς εἶναι δοκεῖν ποιοῦσιν, ἢ μὴ τοιούτους. Τῆς γὰρ αὐτῆς ἀτοπίας,[5] δειλίᾳ τε καταπροδοῦναι τὸ δίκαιον, καὶ θρασύτητι τὸν ὑπὲρ τῶν οὐ προσηκόντων ἐπισπάσασθαι κίνδυνον.

---

ἴσον ἢ προσόμοιόν ἐστιν; — 4. Πρῶτοι τῶν ἀνιαρῶν.) Οἱ γὰρ Ἕλληνες πάσας τὰς περιοικούσας πόλεις τῆς Τροίας πορθήσαντες, ἐλαφυραγώγησαν. Ὅθεν καὶ Ὅμηρος τίθησι τὸν Ἀχιλλέα πρὸς Ἀγαμέμνονα λέγοντα Ἰλ. Α΄. 125. Ἀλλὰ τὰ μὲν πολίων ἐξεπράθομεν, τὰ δέδασται. — 5. Τί τῶν ἐν ἀνθρώποις.) Τοῦτ᾽ ἔστι. Ποῦ ἂν γύναιον ἡ Ἑλένη ἄξιον εἴη τοσαύτης δυσμενείας;

§ 29. 2. Τὰ κελευόμενα.) Ἀλλ᾽ ἐρεῖ τις, Ἆρά γε δεῖ ἡμᾶς ποιεῖν τὰ κελευόμενα παρὰ σοῦ οὕτως, ὥσπερ εἰ μὴ εἰδείημεν, ὅτι ἐστὶν ἴδιον ἀνδρῶν τὸ μηδαμῶς εἴκειν τοῖς πολεμίοις. — 3. Ἐκ μὲν ὧν.) Ἐκ μὲν ἐκείνων, ἅ. οὕτω καὶ ἐκ δὲ ἐκείνων ἅ· καὶ ἔστιν ἡ συμφωνία Ἀττική. — 4. Τὸ τῆς εὐκλείας.) Ἡ εὔκλεια. — 5. Τῆς γὰρ αὐτῆς ἀτοπίας.) Ἐστὶ δηλ. ἴδιον.

Ε. Υ. Δ. της Κ. Η. ΙΩΑΝΝΙΝΑ 2006

§ 30. Εἰ μὲν οὖν μὴ παθόντες ἡμεῖς κακῶς, μηδ᾽ ἐπ᾽ ἐγκλήμασι δικαίοις κεκινημένοι, μηδὲ τὰ οἰκεῖα ἐπιζητοῦντες, ἀλλὰ τῶν ἀλλοτρίων ἐπιθυμοῦντες, οὕτω πολλὴν καὶ μεγάλην στρατιὰν ἀνεγείραντες, ἢ βοῦς ἀπηλαύνομεν, ἢ παρετεμνόμεθα γῆν· ἢ τῶν ἐντὸς τείχους χρημάτων ἐζητοῦμεν τὸ μέρος, εἶθ᾽ ὑμεῖς ὑπεκύπτετε, ῥᾳδίως ἀγαπῶντες εἴ τις ἐάσει ζῆν, πάνυ ἂν ὑμῶν ἐμεμψάμεθα τῆς ἄγαν ἀπραγμοσύνης· εἰ δὲ τὰ μὲν ὑμέτερα βουλοίμεθα ἂν ὑμῖν ἀκέραια μένειν, αὐτοὶ δὲ ὑπὲρ ὧν ἀφῃρέθημεν, ἥκομεν, οὐχ ὁρῶμεν ἥν τινα ὑμῖν ἕξει λαμπρότητα τοῦ πολέμου τὸ σχῆμα.[2] Οὐδὲ γὰρ εἰ σφόδρα πρόδηλον ἦν, ὡς ἡ τύχη μεθ᾽ ὑμῶν παρατάξετο, οὐκ ἂν ἦν ὑγιαινόντων, ὑπὲρ τοιούτων κινδυνεύειν ἄθλων, ὧν τὸ μὲν διαμαρτεῖν εὔδαιμον· τὸ δὲ κρατῆσαι δυστυχές. Τὰ γὰρ ἀδίκως κτηθέντα, βέλτιον ἀποθέσθαι μᾶλλον, ἢ διὰ τέλους κατέχειν. Καὶ οἵ γε λογίζεσθαι δυνάμενοι, μετὰ τοῦ προσθεῖναι[3] χρημάτων πλῆθος, ἥδιστ᾽ ἂν ἀπαλλαγεῖεν τοσούτης συμφορᾶς.

§ 31. Καί τοι ποῦ καλὸν ὑπὲρ τοιούτων ἀγωνίσασθαι τοῖς σώμασιν, ἃ καὶ μηδενὸς ἀπαιτοῦντος, εἶχε καλῶς ἐκβάλλειν. Οὑτωσὶ δὲ σκοπῶμεν ἐν βραχεῖ. Κάλλιστον εἶναι κτῆμα τὴν Ἑλένην Ἰλίῳ κρίνετε; Οὐκ, οἶμαι[2] γε τοὺς σώφρονας. Οὐκοῦν ἂν μὲν ἀποδῶτε τοῦτο, οὐχ ἕξετε ᾧ παρόντι[3] δυσχεραίνετε· ἂν δὲ πολεμεῖν ἕλοισθε, κρατηθέντες μὲν μετὰ τοῦ τὴν πόλιν ἀποβαλεῖν, οὐδὲ ἐκείνην ἕξετε. Νικήσαντες δὲ, καὶ κεκινδυνευκότες ἂν εἴητε, ὑπὲρ ὧν οὐ χρῄζετε.

§ 32. Εἰ δὲ δεῖ μηδὲν ὑποστειλάμενον εἰπεῖν, τοῦτο μόνον ἁπάντων πραγμάτων πρόδηλον ἔχει τὴν τελευτὴν, ὁποτέρων ἔσται τὸ κράτος. Μαντείας[2] μὲν οὖν καὶ φήμας καὶ Διὸς σημεῖα, καὶ τὰ φοιβασθέντα[3] τὴν πρώτην συλλογὴν τοῦ στρατοῦ,[4] καὶ ὅσα τοιαῦτα, παρίημι, μή τις ἀλαζονείαν αἰτιάσηται τῶν λόγων. Ἀλλὰ

---

§ 30. 2. Τοῦ πολέμου τὸ σχῆμα.) Ἀντὶ Ὁ πόλεμος. — 3. Μετὰ τοῦ προσθεῖναι.) Ἀντὶ, Προστιθέντες, ἢ Ἐν τῷ προσθεῖναι.

§ 31. 2. Οὐκ οἶμαι.) Οὐκ οἶμαι γε κρινεῖν κάλλιστον κτῆμα ἐν Ἰλίῳ τὴν Ἑλένην τοὺς σωφρονοῦντας. — 3. Ὧ παρόντι.) Παρούσης γὰρ τῆς μοιχίας ἐν Ἰλίῳ, οἱ σώφρονες ἐπ᾽ αὐτῇ δυσχεραίνουσι, μισοῦντες αὐτὴν, ἵνα μὴ καὶ τὰς ἄλλας μολύνῃ.

§ 32. 2. Μαντείας καὶ τλ.) Μαντεία μέν ἐστιν ἔκ τινων σημείων παραδήλωσις τοῦ μέλλοντος· οὕτω γὰρ ὁ Μάντις Κάλχας ὅτε ἔθυον οἱ Ἕλληνες ἐν Αὐλίδι, φανέντος δράκοντος καὶ καταφαγόντος ὀκτὼ στρουθοῦ νεοσσοὺς καὶ τὴν μητέρα ἐννάτην, ἐμαντεύσατο ἐννέα ἐνιαυτοὺς πολιορκήσαντας τὴν Τροίαν τοὺς Ἕλληνας, τῷ δεκάτῳ ἑλεῖν. Ὅμηρ. Ἰλ. Β΄, 300... 329. Φήμη δὲ λόγος ἐστὶ δηλωτικὸς μέλλοντός τινος, ἐξ αὐτομάτου λαλούμενος. Σημεῖα δὲ θεοῦ, ἀστραπαὶ καὶ τὰ τοιαῦτα. Ὅθεν καὶ Ὅμηρος Ἰλ. Β΄, 553. τίθησι τὸν Νέστορα λέγοντα περὶ Διὸς, ὅτι κατένευσε τὴν ἅλωσιν τῆς Τροίας.

Ἀστράπτων ἐπιδέξι᾽, ἐναίσιμα σήματα φαίνων.

— 3. Φοιβασθέντα.) Φοιβάζω τὸ Μαντεύομαι· ἀπὸ τοῦ Φοῖβος. Φοῖβος γὰρ ὁ Ἀπόλλων, θεὸς μαντείας. — 4. Τοῦ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΙΩΑΝΝΙΝΑ 2006

τίς οὐκ οἶδεν ὅτι δύο ταῦτα μάλιστα τοῖς ἀγωνιζομένοις τὴν νίκην φέρει, ἓν μέν, τὸ τῆς στρατείας ὑπερβάλλον· ἕτερον δὲ τῶν κρειττόνων[5] ἡ συμμαχία. Πότερον οὖν, ὦ Τρῶες, εἶναι νομίζετε Θεοὺς καὶ Δίκην καὶ Νέμεσιν,[6] καὶ περινοστεῖν τὰ ἀνθρώπινα· καὶ τοὺς μὲν χρηστοὺς ἐπαινεῖν, τοῖς δὲ πονηροῖς ὀργίζεσθαι. Καὶ τοῖς μὲν ἀποδιδόναι χάριν· παρὰ δὲ τῶν, εἰσπράττεσθαι δίκην; Ἔστι ταῦτα, ὦ Τρῶες, ἢ οὔ; Ἔστιν εἴτε βούλεταί τις, εἴτε μή. Τί δέ;[7] ὡς ἂν ἐθέλωσι,[8] ταῦτα πράττεσθαι ἀνάγκη; Ἀνάγκη. Οὐκοῦν ἐκ τούτου δῆλον,[9] ὅτι κἂν εἰ κομιδῆ τινας εὐαριθμήτους Μενέλεως ἀγείρας ἐπεστράτευσεν, ἔδει τὰ τῆς νίκης. Εἶναι, τοῦ τὸ δίκαιον ἔχοντος σύμμαχον.

§ 33. Τοσαύτης δὲ οὔσης τῆς παρὰ τῶν κρειττόνων ἐπικουρίας, τοσοῦτον συνεῤῥύηκεν πλῆθος, ὥστε μηδένα[2] λόγον τῆς ἀκριβείας ἀφικνεῖσθαι. Πολλοῦ γὰρ χρόνου διελθόντος, ἀφ' οὗ τὴν γῆν οἱ ἄνθρωποι νέμονται, καὶ πολέμων συστάντων πολλῶν ἤδη, τῶν μὲν πρὸς ὁμόρους, τῶν δὲ ἐπὶ τῆς ὑπερορίας, οὐδεὶς οὔθ' ἑώρακεν οὔτε ἀκήκοεν, οὕτω πολλὴν κίνησιν[3] τοῖς Ἕλλησι γεγενημένην. Οὔτε γὰρ ναῦς, οὔτε ἵππος, οὔτε ἀνὴρ ὅπλα φέρειν δυνάμενος, οὐκ ἄρχων, οὐκ ἰδιώτης, οὐ τοξότης, οὐ ψιλὸς ἀπολείπεται τοῦ στόλου· ἀλλὰ πάντες πανταχόθεν ἀνήχθησαν. Οὕτω πολὺς ἔρως τοῖς Ἕλλησιν ἐνέπεσεν ὑπὲρ τῶν δικαίων μάχεσθαι. Καὶ τίς ἂν ἐξαριθμήσαιτο τοὺς καθ' ἕκαστον, ὅπου γε καὶ τοὺς ἑκάστων βασιλεῖς, οὐκ εὐχερές. Ἀλλ' ἐν κεφαλαίῳ λέγω. Πᾶσα μὲν ἧκεν ἡ Βοιωτία, πᾶσα δὲ ἡ Πελοπόννησος, Ἄργος Πελασγικόν, οἱ τούτων ἐχομένη·[4] Ἐπὶ τοῦτοις Εὔβοια, Κρήτη, Κεφαληνία, Σαλαμίς, Ἀθῆναι· πολλοὶ μὲν Ἠπειρῶται, πολλοὶ δὲ ἀπὸ τῶν νήσων, καὶ τῶν ἀρχόντων, οἱ μὲν ἀνδρείᾳ[5] νικῶσιν· οἱ δὲ συνέσει[6] κρατοῦσι. Παρὰ δὲ τοῖς, ἀμφοτέρων

---

στρατοῦ.) Τοῦ Ἑλληνικοῦ δηλ. — 5. Τῶν κρειττόνων.) τοὺς Θεοὺς ἐννοεῖ. — 6. Δίκην καὶ Νέμεσιν.) Δίκη μὲν ἐστὶ καθ' ἣν ἑκάστῳ ἀποδίδοται καθ' ἃ ἔπραξε. Νέμεσις δέ, ἀγανάκτησις ὑπὲρ τοῦ δικαίου. — 7. Τί δέ;) Ὑμῖν δοκεῖ. — 8. Ὡς ἂν ἐθέλωσι.) Ἡ πρόνοια δηλ. καὶ ἡ δίκη, καὶ ἡ νέμεσις. — 9. Ἐκ τούτου δῆλον.) Ἐκ τοῦ ὑπάρχειν πρόνοιαν, καὶ δίκην, καὶ νέμεσιν, καὶ πράττεσθαι τὰ ἀνθρώπινα, ὡς ἂν αὗται ἐθέλωσι.

§ 33. 2. Ὥστε μηδένα.) Ὁ γὰρ Ὅμηρος τίθησιν Ἀγαμέμνονα δημηγοροῦντα εἰς τοὺς Ἕλληνας· καὶ ταῦτα λέγοντα. Ἰλ. Β', 123.

Εἴπερ γάρ κ' ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε,
Ὅρκια πιστὰ ταμόντες, ἀριθμηθήμεναι ἄμφω,
Τρῶας μὲν λέξασθαι, ἐφέστιοι ὅσσοι ἔασιν,
Ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί
Τρώων δ' ἄνδρα ἕκαστον ἑλοίμεθα οἰνοχοεύειν,
Πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο.

— 3. Πολλὴν κίνησιν.) Ἐκ τοῦ Θουκυδίδου παραπέφρασται ταῦτα· οὗτος γὰρ ἐν τῷ προοιμίῳ τῆς ἱστορίας λέγει· Κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο. — 4. Πελασγικόν, οἱ τούτων ἐχομένη.) Πελασγικοὶ μὲν οἱ Θεσσαλεῖς· ἐχόμενοι δὲ τούτων οἱ Μακεδόνες. — 5. Οἱ μὲν ἀνδρείᾳ.) Ὡς Ἀχιλλεὺς καὶ Αἴαντες. — 6. Οἱ δὲ

ἡ κτίσις·[7] καὶ τοὺς αὐτοὺς εὕροι τις ἂν καὶ συμβουλεῦσαι δεινοὺς, καὶ πολεμῆσαι κρατίστους· οἴεσθε δὲ τινα καὶ σοφὸν εἶναι[8] παρ' αὐτοῖς, εἰ δὲ βούλεταί τις καὶ πανοῦργον, ἱκανὸν τὰ μὲν ἐκ τοῦ φανεροῦ κατεργάσασθαι· τὰ δὲ, κλέψαι λανθάνοντα.

§ 34. Ἀλλὰ καὶ παρ' ἡμῖν, φησί, τινες εἰσὶν ἄνδρες ἀγαθοὶ[2] καὶ συμμάχους οὐκ ὀλίγους[3] κεκλήκαμεν, μεθ' ὧν διοίσομεν τὸν πόλεμον. Ἔστι μὲν οὖν ὁ πρὸς ταῦτα λόγος, φορτικώτερος· οὔτε γὰρ ἑαυτὸν ἐπαινεῖν τινα νοῦν ἔχειν ἡγοῦμαι· τό,τε ἑτέρους κακίζειν προχείρως, μικροψυχίας ἂν τινος εἴη. Δεῖ δὲ ὅμως χρήσασθαι παῤῥησίᾳ· τοὺς δὲ λόγους τῆς ἀνάγκης[4] νομιστέον, ὡς μὲν οὖν ἰσχὺς κράτιστον ἐν πολέμῳ, καὶ ὡς εὐβουλία μεῖζον ἰσχύει χειρῶν πολλάκις, καὶ ὡς εἰ καὶ χειρῶν μάλιστα δεῖται πόλεμος, ταῦτα πάντα παρ' ἡμῖν μετὰ πολλοῦ τοῦ κρείττονος, ἐάσω. Ἀλλ' ἐκεῖνο ἂν ἐροίμην ἡδέως ὑμᾶς, πότερον νοῦν ἔχοντας κεκλήκατε συμμάχους, ἢ οὔ; Εἰ μὲν οὖν ἐμπλήκτους καὶ τετυφωμένους, εὐχῆς ἂν εἴη τοῖς τοιούτοις προσπολεμεῖν. Εἰ δὲ σώφρονας καὶ λογίζεσθαι δυναμένους, πῶς ὑπακούσονται καλούντων. Εἰδότες ὡς ὑπὲρ τῶν ἀδίκων μαχοῦνται, καὶ ὅπως κύρια ταῦτα καταστήσωσιν, ὧν εἴπερ εὐφρονοῦσι, κατηγοροῦσι. Δύο γὰρ ἅπαντας ἀνθρώπους ἐπὶ τοὺς πολέμους παρακαλεῖν πέφυκεν· ἢ τὸ προειδέναι τὴν ῥοπὴν ἐφ' ἑαυτοῖς ἥξουσαν, ἢ τὸ τὴν ὑπόθεσιν εἶναι τῶν κινδύνων θαυμαστήν. Καὶ νῦν μὲν τὸ κέρδος διώκοντες· νῦν δὲ τὴν φιλοτιμίαν θηρεύοντες, ἀξιόχρεων πρόφασιν ὑποκεῖσθαι τῷ πολέμῳ νομίζουσι. Τούτων δὲ οὐδέτερον ὁ παρὼν πόλεμος τοῖς γε μεθ' ὑμῶν ἐσομένοις προδείκνυσιν. Ὥστε ἢ τὴν ἀρχὴν οὐχ ὑπακούσονται νοῦν ἔχοντες,[5] ἢ τῇ παρουσίᾳ, τὴν ἄνοιαν ἐπιδείξουσι.

§ 35. Χωρὶς δὲ τούτων ἡμεῖς μὲν ἀθρόοι συντεταγμένοι κατήρκαμεν, καὶ τοῖς βασιλεῦσι[2] τὰ τῶν συμμάχων, οὐκ ἐν ἐλπίσιν ἐστίν. Ἀλλὰ τοσούτους ἦλθον ἄγοντες, ὥστε εἰ Τροίας μόνης ἀποπειρᾶσθαι δεήσειε, πολλοὺς ἂν οὐκ ἔχειν εἰς ὅ,τι χρήσαιντο σφίσιν αὐτοῖς μικροτέρου τοῦ ἔργου[3] καθεστῶτος τῆς τῶν ἐπελ–

---

συνέσει.) Ὡς ὁ Νέστωρ, καὶ Μενεσθεύς. — 7. Ἀμφοτέρων ἡ κτῆσις.) Καὶ τῆς ἀνδρείας καὶ τῆς συνέσεως, ὡς παρὰ Ὀδυσσεῖ. — 8. Καὶ σοφὸν εἶναι.) Τὸν Ὀδυσσέα ἐννοεῖ· οὗτος γὰρ καὶ σοφὸς καὶ πανοῦργος.

§ 34. 2. Ἄνδρες ἀγαθοί.) Οἷος ὁ Ἕκτωρ, καὶ οἱ τοῦ Ἀγήνορος παῖδες Ἀρχίλοχός τε καὶ Ἀκάμας. — 3. Οὐκ ὀλίγους.) Περὶ οὗ Ὅμηρος λέγει Ἰλ. Β, 130.

. . . . Ἀλλ' ἐπίκουροι . . .
Πολλέων ἐκ πολίων ἐγχέσπαλοι ἄνδρες ἔασιν.

— 4. Τῆς ἀνάγκης.) Ἔργον εἶναι δηλ. — 5. Νοῦν ἔχοντες.) Οἱ ὑμῖν δηλ. συμμαχήσοιεν.

§ 35. 2. Καὶ τοῖς βασιλεῦσι.) Καὶ οἱ σύμμαχοι τῶν βασιλέων οὐκ ἐλπίζονται, ὡς παρ' ἡμῖν. Βασιλεῖς δὲ λέγει Ἀγαμέμνονα καὶ Μενέλαον. — 3. Μικροτέρου τοῦ ἔργου.) Ἡ πολεμουμένη.

θόντων χειρός. Ὑμῖν δὲ εἴ τινες ἄρα καὶ βοηθοῖεν, οἱ μὲν θᾶττον ἴσως, οἱ δὲ σχολαιότερον ἥξουσιν· ὅσον ἕτερος ἑτέρου κατὰ τὸν τόπον[4] ἀφέστηκε, τοσοῦτον ὑστερίζων κατὰ τὸν χρόνον. Ἂν οὖν ὑμεῖς μὲν ἀντιτείνητε πρὸς τὴν πρεσβείαν· οἱ δὲ βοηθήσοντες ὑμῖν μελήσωσι· τοῖς Ἕλλησι δὲ λοιπὸν ἢ τὰ ὅπλα πρὸς ἀγαγήν. Ἆρα οὐ κατόπιν, εἰ καὶ δυσχερὲς εἰπεῖν, τῶν πραγμάτων παρέσονται, καὶ τοῦ καιροῦ τῆς ὠφελείας παρελθόντος, ἐπὶ τὴν τῶν συμφορῶν ἀφίξονται θέαν; Οὐ γὰρ δὴ ταύτην παρ' ἡμῶν ἐπαγγέλλεσθε τὴν χάριν, οὐδέ γε πέμψαντες κήρυκας ἐκεῖνα ἐρεῖτε; ὅτι, ὦ βέλτιστοι, τί ἐπείγεσθε; ἀναμείνατε Λυκίους ἡμῖν καὶ Παίονας ἐλθεῖν, ὥστε καὶ ἡμᾶς ἔχειν μεθ' ὅσων παραταξόμεθα.

§ 36. Ἀλλὰ πάντα ἀφίημι ταῦτα, καὶ θῶμεν, ἢ πάντας ἤδη παρεῖναι τοὺς ἐπικούρους ὑμῖν, ἢ καθεδεῖσθαι τοὺς Ἕλληνας ἀργοῦντας, ἕως ἂν εὐπορήσωσιν ἀντιπάλων· ἥξουσι πολλοὶ πολλαχόθεν συνδιασώσοντες Ἴλιον. Οὐκοῦν τὸ μὲν πλῆθος ἴσον ἀμφοῖν, εἰ δοκεῖ, λογιζώμεθα, τὰς δ' ἀρετὰς παραλλήλους θέντες, ἐξετάσωμεν. Εἰ δὲ ὑπερβολῇ προσήκει κεχρῆσθαι, δεδόσθω μήτ' Ἀχιλλέως, μήτ' Αἴαντος ἑκατέρου,[2] μήτε Διομήδους, μήτ' Ἰδομενέως, μήτε Τεύκρου, μὴ Σθενέλου, μὴ Μενεσθέως· ἐμαυτὸν γὰρ καὶ τοὺς βασιλεῖς[3] ἀφήσω, καὶ πολλοὺς ἄλλους καλοὺς κἀγαθοὺς στρατηγούς. Δεδόσθω νῦν μηδενὸς εἶναι τούτων φαυλοτέρους ἐκείνους, οἷος φατὲ πιστεύειν εἰς τὴν νίκην. Ταῦτα κοινὰ θέντες, τὴν ἀνάγκην σκεψώμεθα, μεθ' ἧς ἑκάτεροι τῶν ἔργων ἁψόμεθα. Οὐκοῦν ἐκείνους μὲν, ἐγείρει παράκλησις καὶ δέησις, καὶ τὸ βούλεσθαι Πριάμῳ χαρίζεσθαι· ἡμῖν δὲ, τὸ μὲν βούλεσθαι χαρίζεσθαι τοῖς Ἀτρείδαις, κοινὸν πρὸς ἐκείνους ἐστί. Πρόσεστι δέ γε καὶ τὸ τῶν ὑπηκόων δίκαιον. Ἐκείνοις μὲν γὰρ ἔξεστιν ὅσον βούλονται χαρισαμένοις, μηκέτι τοῦ λοιποῦ πρὸς ἀνάγκην, ταλαιπωρεῖσθαι. Ὥστε καὶ τῆς ἐπικουρίας καὶ τῆς ἀναχωρήσεως ὅρος αὐτοῖς ἡ γνώμη· ἡμῖν δὲ ἡ προαίρεσις οὐχ ἕξει μεταβολήν· βεβαιοῦται γὰρ τῇ τῶν βασιλέων ἀνάγκῃ.

§ 37. Τὸ δέ γε ἔτι τούτου μεῖζον· πολὺ γὰρ βελτίοσι τῶν Ἀτρειδῶν βασιλεῦσι καὶ ἰσχυροτέροις ὁμολογίας δεδώκαμεν, ἢ μὴν ἐκπολιορκήσειν τοὺς ἀδικοῦντας τῇ Ἑλένῃ συνοικοῦντας. Καὶ οὐδ' ἂν εἰ σφόδρα βουλοίμεθα προκαταλῦσαι τὴν προθυμίαν, ἡμῖν ἀκίνδυνον. Τί δὲ τοῦτό ἐστιν; Ἔτι νέας οὔσης τῆς Ἑλένης κομιδῇ·

---

δηλ. Τρῳάς. — 4. Κατὰ τὸν τόπον.) Κατὰ τὸ τοῦ τόπου διάστημα.

§ 36. 2. Αἴαντος ἑκατέρου.) Δύο γὰρ ἦσαν Αἴαντες· ὁ τοῦ Ὀϊλέως καὶ ὁ τοῦ Τελαμῶνος. — 3. Καὶ τοὺς βασιλεῖς.) Ἀγαμέμνονα καὶ Μενέλαον.

Ε.Ρ.Α. της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

ἀνεῖπεν ὁ Θεὸς ἔσεσθαί τινα περὶ τὸ γύναιον ταραχήν. Ὡς οὖν πολλοὶ πολλαχόθεν οἱ κράτιστοι συνῆλθον μνηστεύοντες, ἔδοξεν[2] ἀδήλου τοῦ μέλλοντος ὄντος, πίστιν ποιήσασθαι καὶ ὅρκους ἰσχυρούς, ἦ μὴν ἀποτυγχάνοντας, βοηθήσειν τῷ ληψομένῳ κατὰ τῶν ἀδικούντων. Ὤετο γὰρ ἕκαστος ἐν μετεώρῳ τοῦ πράγματος ὄντος, αὑτῷ ταύτην ἀποτίθεσθαι τὴν ὠφέλειαν. Καὶ νῦν ἡμᾶς ἐπὶ τὴν στρατείαν ἤγειρεν ὁ Ζεύς, ὁ Ἀπόλλων, καὶ πάντες οἱ Θεοί[3] καὶ λιπεῖν τὴν τάξιν, οὐκ ἔνεστιν· εἰ μή τις μέλλοι τὰς τῶν Βαρβάρων χεῖρας φεύγων, περιπεσεῖσθαι ταῖς τῶν Θεῶν, καὶ τὰ ὅπλα δεδιώς, πολεμήσειν τοῖς κρείττοσιν.[4]

§ 38. Ἆρα ὑμῖν δοκεῖ Πρίαμος παραπλησίους στρατιώτας συλλέγειν, καὶ τὴν αὐτὴν ἔχοντας τοῦ μέχρι παντὸς[2] κινδυνεύειν ἀνάγκην; Οὐ γὰρ ἄδηλον ὅτι κἂν τυχὸν ἀντικρούσῃ, ταχέως μνήσονται τῆς οἰκίας οὐδενὸς ὄντος, ὃ φοβερωτέραν ποιήσει τὴν ἀναχώρησιν, τῆς μονῆς. Ἀλλ᾽ οὐ τά γε ἡμέτερα ταῦτα, ἀλλὰ τὸ μένοντας ἀποθνήσκειν μετριώτερον φαίνεται, τοῦ μετ᾽ ἐπιορκίας σώζεσθαι.

§ 39. Φέρε δὴ καὶ τὰ λοιπὰ σκοπήσωμεν· καὶ ὅπως εἰς ἄνισον πόλεμον τὸν πρὸς ἡμᾶς ἑαυτοὺς ἐμβαλεῖν ἐπιθυμεῖτε, ὑπ᾽ ὄψιν ἀγάγομεν. Οὐκοῦν ἡμῖν μὲν παῖδες, καὶ γυναῖκες, καὶ τὰ ἄλλα ἀγαθὰ πόῤῥω που τυγχάνει κείμενα ἐπὶ τῆς Ἑλλάδος, ἐν σκέπῃ τοῦ πολέμου,[2] κἂν (ὃ μὴ γένοιτο) σφαλῆναι συμβαίη, τῆς χείρονος οὐ μεθέξουσι τύχης· ἀλλ᾽ ἐν τοῖς ἡμετέροις σώμασιν ὁ κίνδυνος ἵσταται. Εἰ δὲ ὑμεῖς τι πταίσετε τοῖς ὅλοις ἐπταικότες ἂν εἴητε· καὶ δεῖ συνυποκεῖσθαι τοῖς ἀποβαίνουσι, τὸ τῆς πόλεως ἔδαφος· καίτοι τίς οὕτω σφόδρα μεγαλόψυχος; ὅστις ἂν ὑπὲρ οὕτως ἀνομοίων ἄθλων ἀναῤῥίψειε τὸν κύβον[3] μέλλων, εἰ μὲν κρατήσειεν, οὐδὲ μικρὸν κερδανεῖν, εἰ δὲ σφαλείη, τοῦ παντὸς στερεῖσθαι.

§ 40. Ἔτι τοίνυν τὴν μὲν ἡμετέραν χώραν, οὐδείς ἐστιν ὁ ποιήσων κακῶς· ἡ δὲ ὑμετέρα στρατόπεδον ἡμῖν γίγνεται· καὶ τὴν τρο-

---

§ 37. 2. Ἔδοξεν.) Πολλῶν γὰρ συνελθόντων εἰς μνηστείαν τῆς Ἑλένης, καὶ τοῦ Τυνδάρου ἐν ἀπορίᾳ ὄντος· ἐφοβεῖτο γὰρ μὴ οἱ ἄλλοι μὲν μνησικακήσωσιν, ἑνὸς τὴν Ἑλένην λαβόντος· ὁ Ὀδυσσεὺς ἐπέθετο αὐτῷ εἰς ὅρκον ἐμβαλεῖν πάντως ἦ μὴν βοηθήσειν τῷ ληψομένῳ κατὰ τῶν ἀδικούντων· καὶ οὕτω προετίμησε πάντων Μενέλαον. — 3. Πάντες οἱ Θεοί.) Οὓς ὠμόσαμεν. — 4. Τοῖς κρείτοσιν.) Τοῖς Θεοῖς δηλ.

§ 38. 2. Μέχρι παντός.) Μέχρι δηλ. καὶ αὐτῆς τῆς ψυχῆς τὸ πᾶν οὔσης ἐν ἀνθρώπῳ.

§ 39. 2. Ἐν σκέπῃ τοῦ πολέμου.) Ἡ γενικὴ πρὸς τὸ Πόῤῥω· ἤτοι Πόῤῥω τοῦ πολέμου, ἐν τῇ Ἑλλάδι, ὑπὸ σκέπην ὅ ἐστιν οὐδὲν φοβοῦνται τῶν ἐκ τοῦ πολέμου, συμβαινόντων, ὥσπερ οἱ ὑπὸ σκέπην ὄντες οὐ φοβοῦνται, ὑετὸν καὶ χειμῶνα. — 3. Τὸν Κύβον.) Ἀπὸ μεταφορᾶς εἴληπται τῶν κύβοις παιζόντων· δύο γὰρ κύβους οὗτοι ἔχοντες, καὶ ἐπὶ τραπέζης τινὸς ῥίπτοντες ἐκ τῆς διαφόρου τῶν κύβων θέσεως τὰ τῆς τύχης ἐλπίζουσιν· ἴασιν οἱ περὶ τὰ τοιαῦτα δεινοί.

Ε.Υ. ΔΤΗΣ ΚΤ.Π. ΙΩΑΝΝΙΝΑ 2006

φὴνποριοῦμεν ἀπὸ τῶν ὑμετέρων καρπῶν καὶ βοσκημάτων· καὶ διχῇ δεήσει δαπανᾶσθαι τὸ Ἴλιον, τῶν μὲν συμμάχων αἰτούντων, τῶν δὲ πολεμίων ἁρπαζόντων· καὶ τῶν μὲν, οἰκειότητος ὀνόματι λαμβανόντων· τῶν δὲ, πολέμου νόμῳ ληϊζομένων.

§ 41. Καὶ μὴν οὐδὲ ἐκεῖνο παραπλήσιον. Εἰ μὲν γὰρ μεθ' ὑμῶν τὸ δαιμόνιον γένοιτο, καὶ τὰ πράγματα ἡμῖν, εἰς ἔσχατον προβαίη κακοῦ,[2] πρόχειρον καθελκύσασι τὰς ναῦς, ἔξω γενέσθαι τῶν δεινῶν· καὶ πρὸς βραχὺ τῷ καιρῷ παραχωρήσαντας, αὖθις ἐπιπλεῖν, ἡνίκα βέλτιον· εἰ δὲ ἐφ' ὑμῶν τὸ αὐτὸ συμβαίνοι· τίς ὑμῖν ἔσται πόρος; τίς μηχανὴ τῆς ἀκαιρίας ἰσχυροτέρα; Οὐ γὰρ δὴ τὴν πόλιν γε μεθορμιεῖτε πρὸς τὸ ἀσφαλές. Ἀλλ' ἐγὼ μὲν εἰπεῖν οὐ βούλομαι· τοῦ δὲ πράγματος ἡ τελευτὴ καταφαίνεται.

§ 42. Οἱ μὲν λογισμοὶ, ταῦτα καὶ πολλὰ τοιαῦτα παριστῶσιν, ὦ Τρῶες. Ἔστι δ' ἐφ' ὑμῖν ὁποτέραν βούλεσθε τραπέσθαι· Βέλτιον δὲ ἐκείνην, ἀφ' ἧς ὕστερον ὑμᾶς αὐτοὺς ἐπαινέσεσθε. Καὶ γὰρ ἐρῶ, εἰ καὶ φορτικώτερον ἀκοῦσαι, εἰ μὲν ἅπαντες συνῳκεῖτε τῇ ἀνθρώπῳ, τάχ' ἂν εἶχε συγγνώμην, κοινὴν ἡδονὴν ὠνήσασθαι κινδύνου·[2] εἰ δὲ τοῦτο οὐκ ἔνεστιν, οὐδ' ἂν γένοιτό ποτε, τίς ἡ πολλὴ πρόνοια τῆς Ἀλεξάνδρου τρυφῆς;

§ 43. Ὅτι νὴ Δία κρατεῖ, τοῖς δὲ κρατοῦσιν[2] ὑπουργεῖν ἄξιον· κἂν παρανομῶσιν, ὦ Τρῶες; κἂν ἀποσφάττωσι τοὺς ἀρχομένους, κἂν παῖδας, κἂν γυναῖκας ἀνδραποδίζωνται, κἂν πυρπολῶσι τὴν πόλιν; Ταῦτα τοίνυν Ἀλέξανδρος ἐπενήνοχεν Ἰλίῳ· ὁ γὰρ τὴν ἀνάγκην παρεσχηκὼς τοῦ ταῦτα ποιεῖν ἑτέροις, οὗτος ἂν αὐτόχειρ νομίζοιτο τούτων, ὧν καθέστηκεν αἴτιος. Εἶτα βασιλέα προσερεῖ τις εὖ φρονῶν, τὸν οὐ καταλιπόντα[3] ὧν βασιλεύσει. Οὐκ οἶσθ' ὅτι τὸ τῆς ἀρχῆς ὄνομα τοῦ κρείττονός ἐστι; καὶ τοῦτό ἐστι βασιλεὺς, εἰ μὴ τὴν προσηγορίαν ἀρνεῖται τοῖς ἔργοις, εὐδαιμονίας πρύτανις, δικαιοσύνης κανὼν, τῶν ἀρίστων παράδειγμα; Ὁ δὲ χείρω τῶν ὑπηκόων παρέχων ἑαυτὸν, εἰκότως ἂν ἀφεὶς τὴν βασιλείαν, εἰς τοὺς ἀρχομένους τάττοιτο. Οὐ καλῶ κυβερνήτην ἐγὼ τὸν καταδύοντα τὸ σκάφος, οὗ τοὺς οἴακας ἐπιστεύθη· οὐδὲ τὸν ἐν οἷς ἐπιτηδεύει δεικνῦντα τοῖς ναύταις, ὡς ἀμελητέον ἤδη τοῦ πλοίου, οὐδέ γε τὸν, ἃ μηδεὶς τῶν ναυτῶν πλημμελεῖ, περὶ ταῦθ' ἑκόντα πονηρὸν ὄντα. Ἀλέξανδρος τοίνυν ἄρχειν ἀξιῶν τῶν ἄλλων Τρώων,

---

§ 41. 2. Εἰς ἔσχατον . . . κακοῦ.) Ἀντὶ εἰς τὸ ἔσχατον κακόν· εἰς ἀπελπισίαν δηλ.

§ 42. 2. Κινδύνου.) Ἀντὶ κινδύνου· ἐλλείψει τῆς Ἀντὶ δηλ.

§ 43. 2. Κρατοῦσιν.) Τοῖς ἄρχουσι δηλ. δεῖ ὑπηρετεῖν. — 3. Τὸν οὐ καταλειπόντα.) Ἑαυτὸν γὰρ πάντων ἀνθρώπων κάκιστον ἀποδείξας, οὐ κατέλιπεν ἀνθρώπους χείρους ὄντας ἑαυτοῦ, ὧν βασιλεὺς γενόμενος ἐπὶ τὸ ὀρθὸν μεταῤῥυθμίσει.

ἃ μηδεὶς τῶν ἀρχομένων ἐτόλμησε, ταῦτα ἑαυτῷ προσήκειν ἡγήσατο.

§ 44. Ἔοικα δὲ τὴν ἄλλως μακρολογεῖν, ἕτοιμον ὂν ἐπιστομίσαι τὸν ταῦτα προφασιζόμενον. Νῦν γὰρ οὔτ' Ἀλέξανδρος, οὔθ' Ἕλενος, οὔτε Δηΐφοβος, οὔτ' ἄλλος οὐδεὶς τῶν Πριάμου παίδων κρατεῖ τῶν ὑμετέρων πραγμάτων, ἀλλὰ Πρίαμος αὐτός. Καὶ τοῦτο οὐκ ἀκοῇ μόνῃ ἐστὶν εἰδέναι, ἀλλὰ καὶ τοῖς ὁρωμένοις δῆλον καθίσταται· καὶ χωρὶς τούτων τοῖς ἁπανταχοῦ νενομισμένοις, ταῦτα δέ ἐστι τί; τοὺς παῖδας τοῦ βασιλέως περιόντος μὲν αὐτοῖς τοῦ πατρὸς, ἰδιωτεύειν· ἀπελθόντος δὲ, εἰς τὴν ἐκείνου τάξιν παριέναι τὸν πρεσβύτατον, ἄλλως τε εἰ[2] καὶ δεινὸς εἴη χρήσασθαι πράγμασιν· ἅπερ ἀμφότερα, τὸ σκῆπτρον εἰς Ἕκτορα περιάξειν ἔοικε. Τοσοῦτον ἀπέχει τοῦ νῦν Ἀλέξανδρον βασιλεύειν, ὥστε οὐδὲ ἐν ἐλπίσιν[3] ἐστὶ τοῦ πράγματος. Εἴ γε ζῶντος μὲν καὶ ὄντος Πριάμου, οὐδεὶς εἰς τοῦτο τῶν ἐκείνου παίδων κληθήσεται. Τελευτήσαντος δὲ, Ἕκτωρ γίνεται τῆς ἀρχῆς τοῦ πατρὸς κληρονόμος.

§ 45. Οἶδα δὲ ὡς εἰ καὶ Πρίαμος οἷά περ Ἀλέξανδρος ἠσέλγαινεν (ἠσέλγαινε δὲ ἐπ' ὀλέθρῳ τῆς πόλεως) οὐκ ἂν ἠνέχεσθε τῆς ἀκολασίας ἐκείνου, τὴν δίκην αὐτοὶ διδόντες. Ἀλλ' ἔχετ' ἂν εἰπεῖν πρὸς αὐτὸν μέτριά τε καὶ δίκαια, καὶ αὐτῷ πεισθῆναι συμφέροντα· ὦ βασιλεῦ, ἡμεῖς μὲν ἑαυτοὺς ἐνεδώκαμέν σοι, καὶ τῶν ὅλων προὐβαλόμεθα πραγμάτων, οὐκ ἐπὶ τὸ κακῶς ὑπὸ σοῦ παθεῖν· ἀλλ' ἐπὶ τὸ, κἂν εἴτις ἕτερος τολμήσῃ,[2] σὲ διακωλύειν· οὐδ' ἵνα πρὸς ἡδυπάθειαν ἀποχρήσῃ τῇ βασιλείᾳ, ἀλλὰ τὴν ὑπάρχουσαν εὐδαιμονίαν ἐπιτείνῃς τῇ προνοίᾳ· σὺ δὲ οὐκ εἰς καλὸν ἔοικας ἀπολαύειν τῶν δοθέντων σοι· οὐδὲ τὰς ἐλπίδας ἡμῖν βεβαιοῦν· ἀλλ' ἃ μηδεὶς ἂν ἤλπισε, τούτοις ἐπιχειρεῖν. Καὶ δύο τὰ χείριστα ἐργάζεσθαι· σαυτὸν μὲν γὰρ πονηρότατον ἀποφαίνεις· δι' ὧν δ' αὐτὸς ἀδικεῖς, τούτοις ἡμᾶς ἀπολλύεις. Ταῦτα καὶ ὑμᾶς ἂν εἰπεῖν οἶμαι, καὶ Πρίαμον αἰσχυνθῆναι, καὶ δευτέραν ποιήσασθαι[3] τὴν ἑαυτοῦ ῥᾳστώνην τῆς τῶν ἄλλων σωτηρίας.

§ 46. Μὴ τοίνυν ἃ τὸν βασιλέα τολμῶντα ποιεῖν ἐκωλύετ' ἂν, ταῦτα τοῖς οὔπω τοσοῦτον ἰσχύουσιν ἐπιτρέψητε. Μηδὲ ἐς τοσοῦτον συγχέητε τὰ πράγματα, ὥστε βασιλέα γε νομίζειν, τὸν οὐκ

---

§ 44. 2. Ἄλλως τε εἰ.) Ἀντὶ τοῦ Μάλιστα. — 3. Οὐδὲ ἐν ἐλπίσιν.) Οὐδὲ ἐλπίζει δηλ. ποτὲ βασιλεύσειν.

§ 45. 2. Τολμήσῃ.) Κακῶς ποιῆσαι ἡμᾶς. — 3. Δευτέραν ποιήσασθαι.) Προτιμῆσαι δηλ. τὴν σωτηρίαν τῶν ἄλλων τῆς ἰδίας ῥᾳστώνης.

§ 46. 2. Τὸν οὐκ ἔχοντα.) Τὸν Ἀλέξανδρον δηλ. ὅστις οὐκ ἔχει τὴν ἀρχήν· εἶτ' οὖν οὐκ ἔστι βασιλεύς. —

Εκ. Ζώτης Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἔχοντα[2] τὴν ἀρχὴν, καὶ πλείω τούτῳ παρέχειν ἐξουσίαν, ἡ παρ' οἷς[3] ἐστὶ τὸ κρατεῖν.

§ 47. Οἶμαι τοίνυν ἐρεῖν τινὰς, ὡς ἑκοῦσα συνηκολούθησεν ἡ γυνὴ, καὶ οὔτ' Ἀλέξανδρος οὐδὲν ἀδικεῖ, Μενέλεώς τε πραγματωδέστερός ἐστι τοῦ προσήκοντος, τὴν ἀποφυγοῦσαν ἀγαπῶν. Ἔστι δὲ πρόχειρον μὲν εἰπεῖν, ὡς Ἀλέξανδρος μὲν ἀδικεῖ, τὴν οὐ βουλομένην ἀκολουθεῖν ἁρπάσας. Μενέλεως δὲ τὰ προσήκοντα ποιεῖ, τὴν ἄκουσαν ἀπελθοῦσαν, ἀξιῶν ἔχειν· ἀλλ' ἵνα μὴ ἀπέραντος ὁ λόγος εἴη, δεδόσθω βεβουλομένην ἀκολουθῆσαι· οὐκοῦν ἐξαπατήσαντος Ἀλεξάνδρου τοῦτ' ἐποίησεν·[2] οὐ γὰρ πρότερόν γε οὐδὲν τοιοῦτον εἰργασμένη φαίνεται. Ἔστιν οὖν Ἀλεξάνδρου καὶ τοῦτο ἀδίκημα δεινόν· καὶ πολύ γε δεινότερον, τὸ πεῖσαι γενέσθαι φαύλην, τοῦ πρὸς ἀνάγκην καταισχῦναι· ἡ μὲν γὰρ βιασθεῖσα, τὸ μὲν σῶμα ὕβρισται, τὴν δὲ γνώμην οὐ διέφθαρται· καὶ προσέτι μισεῖ τὸν τὴν ἀνάγκην ἐπενεγκόντα· ἡ δὲ πεισθεῖσα, θαυμάζειν ἃ φεύγειν ἄξιον, συνεπείληπται τῶν ἀδικημάτων. Καὶ γέγονε πονηρίας κοινωνός. Καὶ οὐδ' ἂν ἐπανόρθωσις εἴη τῷ πράγματι, διεφθαρμένου τοῦ τρόπου. Οὕτω κατ' ἀμφότερα[3] Ἀλέξανδρος ἄδικος, καὶ ἐν θατέρῳ[4] πονηρότερος δείκνυται.

§ 48. Ὑπερβολῇ δ' ἔγωγε χρήσομαι. Οὐ παρεκρούσατο τὸ γύναιον Ἀλέξανδρος. Ἀλλ' ἐκείνη[2] μὴ βουλόμενον ἠνώχληκε. Καλῶς· ἔδει τοίνυν ἐπισχεῖν ἁμαρτάνουσαν,[3] ἀλλ' οὐ συλλαβεῖν ἀδικούσῃ. Καὶ ταύτην ἀντιδοῦναι τῷ ξενίσαντι τὴν χάριν, τὸ μὴ συμπράττειν εἰς ἃ μὴ προσῆκε τῇ γυναικί· οὐ γὰρ ἡ κοινωνία τῶν ἀδικημάτων ἐν τοῖς τοιούτοις ἐξαιρεῖται τὸν μετασχόντα τῆς μέμψεως· ἀλλ' εἰς ταὐτὸν τίθησι, τῷ παρακεκληκότι, τὸν ὑπακούσαντα. Καὶ τοσοῦτον αὐτῷ νέμει τῶν αἰτιῶν, ὅσον καὶ τῶν ἔργων μέτεστιν. Ὁ τοίνυν λόγος ὁ τοιοῦτος οὐ τὸν μὲν ποιεῖ καθαρὸν ἐγκλημάτων· τὴν δὲ οὔ· ἀλλ ἐκείνην συνδιαβάλλει. Οὐδὲ Ἀλέξανδρος μετριώτερος, εἰ καὶ τὸ γύναιον ἐν αἰτίᾳ.[4]

§ 49. Ἀλλὰ μὴν[2] πρός γε τὸν φάσκοντα θαυμάζειν· εἰ μὴ αἰσχύνοιτο Μενέλεως, Ἑλένην ἀπολαμβάνειν ἐπιχειρῶν, ἐκεῖνο λέγω· ἡμῖν, ὦ Τρῶες, μελήσει τῆς ἡμετέρας αὐτῶν[3] δόξης· ὑμῖν δὲ τῆς ὑμετέρας αὐτῶν φροντιστέον. Θαυμάζω δὲ, εἰ τὸ μὲν ἡμῖν

---

3. Ἡ παρ' οἷς.) Ἡ ὅσην ἐξουσίαν οὐ παρέχετε τῷ Πριάμῳ, παρ' ᾧ ἐστὶ τὸ κρατεῖν· ὅπερ ἐστί· βασιλεῖ ὄντι.

§ 47. 2. Ἐποίησεν.) Ἡ Ἑλένη δηλ. — 3. Κατ' ἀμφότερα.) Καὶ κατὰ τὸ ἐξαπατῆσαι, καὶ κατὰ τὸ ὑβρίσαι. — 4. Θατέρῳ.) Τῷ ἐξαπατῆσαι· ἢ πεῖσαι.

§ 48. 2. Ἀλλ' ἐκείνη.) Ἐννοεῖται, Οὐ παρεκρούσατο τὸ γύναιον Ἀλέξανδρος, ἀλλ' ἐκείνη. — 3. Ἁμαρτάνουσαν.) Τὴν γυναῖκα δηλ. Τὴν Ἑλένην. — 4. Ἐν αἰτίᾳ.) Ἐστίν. Εἶτ' οὖν· εἰ ἡ γυνὴ ἀξία κατακρίσεως.

§ 49. 2. Ἀλλὰ μήν.) Προσθετικός. — 3. Τῆς ἡμετέρας αὐτῶν.) Τὸ Αὐτῶν κατὰ παρολκὴν κεῖται ἐπιτατικῶς.

τὰ οἰκεῖα κομίζεσθαι ζητεῖν αἰσχρόν· ὑμῖν δὲ τὸ τῶν οὐ προσηκόντων ἀμφισβητεῖν, καλόν. Καὶ Μενέλεως μὲν Ἑλένῃ συνοικῶν, γέλωτα καὶ χλευασμὸν οἴσει· Ἀλέξανδρος δὲ κρείττων ἔσται κατηγορίας, πάντα ἐκείνην ἡγούμενος. Πάντων δὲ ἀτοπώτατον, ἣν ἑκοῦσαν φατὲ τοῖς χειρίστοις ἐπιδραμεῖν, ὑπὲρ ταύτης ἀποθνήσκειν ἐπιθυμεῖν. Τίς δ᾽ ἂν εἰδείη τί ποτε χρήσεται τῇ γυναικί; εἴτ᾽ ἐπὶ τιμωρίᾳ, λαβεῖν βούλεται, εἴτ᾽ ἀποσφάξαι· εἴτε καταποντίσαι· εἴτε συνειδὼς αὐτῇ παρὰ γνώμην ἡρπαγμένην, τοῦ πεποιηκότος, ἀλλ᾽ οὐ τῆς παθούσης, τ᾽ ἀδίκημα κρινεῖ. Τί ἄν τις περιεργάζοιτο ταῦτα, περὶ ὧν ἀφεῖναι δεῖ δοκιμάζειν τὸν κύριον;

§ 50. Ἤδη τοίνυν τινὸς ἤκουσα τὸν Ἀλέξανδρον ἐπαινοῦντος, ὅτι βούλεται γυναικὶ συνοικεῖν, καὶ γένει καὶ κάλλει διαφερούσῃ. Τοῦτο δὲ, κατηγορία μεγίστη τῶν ἁπασῶν[2] ἐστίν. Εἰ γὰρ σεμνόν τι τοῦτο, καὶ πολλῆς εὐδαιμονίας γέμον· καὶ ζηλωτὸν δεῖν κεκρίσθαι τὸν Ἑλένῃ συνοικοῦντα, μεγίστων ἀγαθῶν δήπουθεν ὁ Μενέλεως ἐστέρηται· καὶ ὧν παρόντων εὐδαίμων ἦν, τούτων ἀπόντων ἠδίκηται. Ὥστε ὁ τοῦτο λέγων, ἡμῖν μὲν εὔλογον τὴν στρατείαν ἀποφαίνει· τὴν δ᾽ ἀπολογίαν Ἀλεξάνδρου, παραιρεῖται. Εἰ μὲν γὰρ οὐδενὸς ἄξιον Ἑλένη, τὸ κινδυνεύειν ὑπὲρ ταύτης εὔηθες· εἰ δὲ πλείστου καὶ τοῦ παντὸς, μεθ᾽ ὑπερβολῆς ἠδικήκατε· ὥστε ἢ μικρὸν τὸ πρᾶγμα νομίζοντες, οὐ καθέξετε, ἢ μέγιστον κρίναντες, ἀποδώσετε. Τὸ μὲν γὰρ ἀνόητον· τὸ δὲ ἄδικον. Εἰ γὰρ οὗτος ἑκάστῳ παρασταίη λογισμὸς,[3] καὶ τὰς τῶν πλησίων γυναῖκας σκεψόμεθα, καὶ τὰς ἀρίστας, ἡμῶν αὐτῶν εἶναι μᾶλλον, ἢ τῶν ἐχόντων βουλησόμεθα. Ὁρᾶτε, ὦ Τρῶες, μὴ καὶ πρὸς ἀλλήλους τοῦτο πάθητε· καὶ τὸ νόσημα πάσας ἐπέλθῃ τὰς πόλεις, καὶ πονηρὸν ἔθος παρ᾽ ὑμῶν ὁρμηθῇ. Θαυμάζεις τὴν παῖδα τοῦ Διός;[4] ἀλλ᾽ οὔ σοι δίδωσιν αὐτὴν ἡ τύχη· ἀλλ᾽ ἐξ ἁπάντων, κηδεστὴν ποιεῖται Μενέλεων· τοῦτ᾽ ἔστιν ὁ κλῆρος· ἡ γνώμη τοῦ Διὸς τοῦτον αἱρεῖται· τούτῳ τὸ θυγάτριον ἐγγυᾷ. Πάντων δὲ σχετλιώτατον,[5] ὅτι οἱ μὲν ἐν Πελοποννήσῳ κατοικοῦντες, καὶ ἅπαντες ἁπλῶς οἱ τότε μνηστεύσαντες, ἔστερξαν τῇ τύχῃ·[6] καὶ τοῦ δικαίου,[7] τὴν αὐτῶν ἰσχὺν οὐκ ἠξίωσαν προθεῖναι· ὁ δὲ[8] μηδὲ μνηστεύειν τολμήσας, πλέον ἔχει τοῦ λαχόντος.

§ 50. 2. Τῶν ἁπασῶν.) Τὸ ἄρθρον διὰ τὸ ἐννοούμενον οὐσιαστικόν· ἤτοι· Τῶν κατηγοριῶν ἁπασῶν. — 3. Οὗτος . . . λογισμός.) Ἀνάρθρως διὰ τὴν δεικτικήν· σύνηθες γὰρ τοῦτο, δεικτικῆς ἡγουμένης· ἡ γὰρ δεῖξις τὸ ὡρισμένον τοῦ ὑποκειμένου δηλοῖ, ὅπερ ἐστὶν ἄρθρου. — 4. Τὴν παῖδα τοῦ Διός.) Ἑλένην. Λήδας γὰρ καὶ Διὸς ἡ Ἑλένη. — 5. Σχετλιώτατον.) Εἰσὶ τὰ ἑξῆς ῥηθησόμενα. — 6. Ἔστερξαν τῇ τύχῃ.) Τὸ Στέργω, σημαῖνον τὸ Ἀγαπῶ, αἰτιατικῇ συντάσσεται· οἷον· Στέργοντας αὐτὴν ὁμοίως, ὥσπερ οἱ βέλτιστοι τοὺς πατέρας καὶ τὰς μητέρας τὰς αὑτῶν. Ἰσοκρ. Παναθην. σημαῖνον δὲ τὸ Εὐχαριστοῦμαι, δοτικῇ. — 7. Καὶ τοῦ δικαίου.) Ἕνεκα δηλ. — 8. Ὁ δέ.) Ἀλέξανδρος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΕΥΓ.Δ.Τ. ... ΙΩΑΝΝΙΝΑ 2006

§ 51. Ἀλλ' ἵνα μὴ διατρίβωμεν ἐν λόγοις τὸν χρόνον· μηδὲ στρατόπεδον τοιοῦτον[2] ἐν ἀργίᾳ καθέζηται,[3] πράξεως ἐπιθυμοῦν, τοσοῦτον εἰπὼν ὑμῶν ἀπαλλάξομαι· κατέχοντες μὲν Ἑλένην, πολεμηθήσεσθε· διδόντων δὲ ὑμῶν αὐτήν, καὶ δίκας[4] ἀνεξόμεθα. Καὶ νῦν ἐφ' ὑμῖν ἐστὶν ἢ ζῆν ἀδεῶς, ἢ κινδυνεύειν. Δότε οὖν ἡμῖν ἤδη τὰς ἀποκρίσεις, καὶ τὴν ταχίστην ἀποπέμψατε· ὡς ἔγωγε πάντας μέν, μάλιστα δὲ τὸν Ἀχιλλέα, καὶ τὸν Αἴαντα, ζημίαν ἡγοῦμαι πεποιῆσθαι τὴν μέλλησιν· καὶ νῦν μετέωρον εἶναι τὸ στρατόπεδον, εἴς τε τὰ ὅπλα ἀποβλέπον, καὶ τὴν ἀκοὴν ἀναμένον.

§ 52. Εὖ δὲ ἐπίστασθε, ὡς τὸ τῶν πρέσβεων ἄπρακτον, προσθήκη πρὸς ἀγανάκτησιν τοῖς ἀπεσταλκόσι καθίσταται. Ὁ γὰρ ἐπιεικείᾳ πρὸς τοὺς ἠδικηκότας χρησάμενος, ἐπειδὰν ὑπερφρονηθεὶς τύχῃ χαλεπώτερος γίνεται τῶν ἀπ' ἀρχῆς εἰς χεῖρας ἰόντων,[2] πρὸς τοῖς ἀδικήμασιν[3] ὑπὸ τῆς ὕβρεως κινούμενος. Καὶ νῦν εἰ μὲν ἀπὸ τῶν δυσχερῶν ἠρξάμεθα, καὶ τῇ ἀποβάσει τὸ ἔργον[4] ἠκολούθησε, τάχα ἂν ὕστερον δεομένοις σπονδῶν ἐνεδώκαμεν· καὶ τοὺς ἔχοντας τραχέως,[5] ῥᾷστον ἂν ἦν καταπραΰνειν· οὐ γὰρ διηλέχθημεν τοῖς ἀνθρώποις, οὐδ' αἱρέσεως κύριοι κατέστησαν· εἰ δ' ἄκοντες[6] ἐπεσπάσαντο τὰ χείρω· Ἀλεξάνδρου τὸ πονήρευμα γέγονεν· ἡ δὲ πόλις οὐ συνηδίκηκε, καὶ πολλὰ ἂν ἦν ἱκανὰ μεταστῆσαι τὴν ὀργὴν εἰς φιλανθρωπίαν.

§ 53. Νυνὶ δέ,[2] τίς ἂν ὕστερον εὑρεθείη λόγος μέτριος, δι' οὗ[3] καταθήσεσθε τὸν πόλεμον, εἰ μὴ νῦν ἐθελήσετε; Ἄνθρωποι τοσοῦτοι τὸ πλῆθος,[4] καὶ τοιοῦτοι τὰς ἀρετάς, ἐγκαλεῖν ἔχοντας τὰ μέγιστα, ὅπλα ἐν ταῖς χερσὶ φέροντες, ἐφεστηκότες τῇ τῶν λελυπηκότων γῇ, σαφῶς εἰδότες, ὡς εἰ μὴ τὰ πρῶτα τῶν ἀδικημάτων ἐπιστροφῆς τύχοι[5], φανεῖται ταχέως καὶ τὰ δεύτερα· ὅμως κατέχουσιν ἑαυτούς· καὶ νικῶσι τῇ πρᾳότητι τὸν θυμόν, καὶ

---

§ 51. 2. Τοιοῦτον.) Ἐννοεῖται Ὄν. — 3. Ἐν ἀργίᾳ καθέζηται.) Ἀντὶ ἀργὸν καθέζηται, ἢ ἀργῶς. — 4. Καὶ δίκας.) Ἀπὸ κοινοῦ τὸ Διδόντων· ἤτοι διδόντων ὑμῶν τὴν Ἑλένην, καὶ διδόντων δίκας.

§ 52. 2. Εἰς χεῖρας ἰόντων.) Μαχομένων. — 3. Πρὸς τοῖς ἀδικήμασιν.) Κινούμενος οὐ μόνον ὑπὸ τῶν ἀδικημάτων, ἀλλὰ πρὸς τούτοις καὶ ὑπὸ τῆς ὕβρεως καὶ περιφρονήσεως. — 4. Τὸ ἔργον.) Τῆς πρεσβείας δηλ. — 5. Τοὺς ἔχοντας τραχέως.) Ἡμᾶς δηλ. τοὺς οὕτω τραχεῖς ὄντας. — 6. Εἰ δ' ἄκοντες.) Εἰ δὲ πάλιν ἐκεῖνοι οἱ Τρῶες δηλ. ἄκοντες ἐπεσπάσαντο καὶ τ[illegible]

§ 53. 2. Νυνὶ δέ.) Τὸ Νῦν οὐ χρονικὸν ἐνταῦθα, ἀλλὰ μόριον κείμενον κατά τινα μετ' ἐκπλήξεως ἔμφασιν. Σύνηθες δὲ τοῦτο καὶ παρ' ἡμῖν· οἷον· Ἀλλὰ τώρα. — 3. Δι' οὗ.) Λόγου καταθεῖναι δυνήσεσθε τὸν πόλεμον· οὐ γὰρ ἔστιν ὑμῖν εἰπεῖν μήτε ὅτι οὐ διηλέχθητε ἡμῖν, μήτε ὅτι οὐ κατέστητε κύριοι αἱρέσεως, μήτε ὅτι ἄκοντες ἐπεσπάσασθε τὰ χείρω. — 4. Τοσοῦτοι τὸ πλῆθος.) Κατὰ τὸ πλῆθος· κατὰ τὰς ἀρετάς. — 5. Ἐπιστροφῆς τύχοι.) Ἐὰν μὴ ἐπιστρέψητε δηλ. τὰ πρῶτα ἀδικήματα διδόντες τὴν

παρέχουσι τοῖς ἠδικηκόσιν, ἀφορμὴν εἰς σωτηρίαν. Ἂν οὖν ὑμεῖς μὴ δέχησθε τὸ ἕρμαιον,[6] μηδὲ ἁρπάζητε τὴν δωρεάν· ἀλλ᾽ ἀποστρέφησθε τὴν εὐτυχίαν· εἶτα πταίσαντες ὕστερον, πάνθ᾽ ἑτοῖμοι συγχωρεῖν ἦτε· ὧν καὶ πολλοστὸν μέρος, ἤρκει τὴν πρώτην.[7] Ἀνταιτῆτε δὲ τοσοῦτον, μήτε[8] τὴν πόλιν ὑμῖν ἀπόλλυσθαι. Ἆρ᾽ οὖν ἀνασχέσθαι νομίζετε, τοὺς ἐγγὺς ὄντας ἤδη τὴν πόλιν ἔχειν;

§ 54. Ταῦτ᾽ οὖν ἐνθυμηθέντες καὶ παραθέντες ταῖς ἡδοναῖς Ἀλεξάνδρου, τὸν περίβολον τουτονὶ τοῦ ἄστεος, τοὺς νεώς, κάλλη δημοσίων, οἰκοδομημάτων κατασκευάς, ἰδίας εὐπορίας, πλοῦτον, ῥαστώνην, γεωργίας, παῖδας, γονεῖς, γυναῖκας, τὰ παρόντα ἀγαθά· τὰς μελλούσας ἐλπίδας· ἐρωτήσατε ὑμᾶς αὐτούς γε, εἰ τοσούτων[2] ἄξιον πρίασθαι τὴν πρὸς Ἀλέξανδρον χάριν.

§ 55. Ἔστι δὲ ὑμῖν μάλιστα πάντων ἀνθρώπων, οἰκείοις σωφρονίζεσθαι παραδείγμασι· καὶ τὸ γιγνόμενον[2] κερδαίνειν ἀπὸ τῶν συμφορῶν· τοῦτο δέ ἐστι, τῇ πείρᾳ τῶν προλαβόντων, τὸ μὴ τοῖς αὐτοῖς περιπεσεῖν εἰδέναι φυλάττεσθαι. Τίς γὰρ οὐκ οἶδεν, ὅτι Λαομέδων[3] ἀγνωμοσύνῃ πρὸς Ἡρακλέα χρησάμενος, καὶ ὧν μὲν ἐδεήθη τυχών, ἃ δὲ ὑπέσχετο δώσειν οὐ παρασχών, πολέμου καὶ κακῶν ἐπειρᾶτο; Καὶ ἡ πόλις ἔκειτο, καὶ χρήματα ἤγετο, καὶ σώματα εἵλκετο· καὶ τῶν ἀπολλυμένων οἱ λειπόμενοι δυστυχέστεροι, τῇ τῶν δεινῶν αἰσθήσει, τῶν ἀπελθόντων πλεονεκτοῦντες· τοῦτο μέν τοι τὸ δεινὸν καὶ φρικῶδες, Πρίαμον εἰσιδών, τκραττέτω· καὶ μὴ βουλέσθω, πολλὰ τοιαῦτα ποιεῖν παραδείγματα· μηδὲ ῥαθυμότερον ἐχέτω περὶ τὴν πόλιν, ἢ κυβερνήτης περὶ τὸ σκάφος. Ἐκεῖνοι τὰς ὑφάλους αἷς ἂν προσβαλόντες τρώσωσι τὸ πλοῖον, ἐπὶ τῆς δευτέρας ἀναγωγῆς φυλάττονται· καὶ γίγνεται τὸ πρότερον πάθος, σωτηρία πρὸς τὰ δεύτερα· ὑμεῖς δὲ, εἰ μηδ᾽ ἐξ ὧν πεπείρασθε σωφρονήσετε, πάνυ ἂν εἴητε δυστυχεῖς.

---

Ἑλένην καὶ τὰ χρήματα. — 6. Τὸ Ἕρμαιον) Ἕρμαιον λέγεται τὸ ἀπροσδόκητον κέρδος· ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν· ἢ ἀπὸ τοῦ ἐν ἔθει λεγομένου Κοινὸς Ἑρμῆς, ἀπὸ τῶν εὑρισκόντων τι· οἷον· Κοινὸν τὸ εὕρημα. — 7. Τὴν πρώτην.) Ἤτοι κατὰ τὴν πρώτην πρεσβείαν· ἢ ἀντὶ τοῦ κατ᾽ ἀρχάς. — 8. Μήτε.) Ὁ Τε, ἤτοι παρέλκει, ἢ μειωτικός ἐστιν ἀντὶ τοῦ Γοῦν· ὁ μειωτικὸς Γε, ἐξ ἀντιγραφῆς μετεβλήθη εἰς Τε.

§ 54. 2. Εἰ τοσούτων.) Εἰ ἄξιόν ἐστιν ἀντιδόντας τοσαῦτα, πρίασθαι τὴν πρὸς Ἀλέξανδρον χάριν.

§ 55. 2. Τὸ γιγνόμενον.) Ἀντὶ μέλλον γενήσεσθαι. — 3. Λαομέδων.) Λαομέδων Τροίας βασιλεύς, συνθεὶς ἐπὶ χρήμασι ῥητοῖς Ἀπόλλωνι καὶ Ποσειδῶνι κτίσαι τὴν πόλιν, ἐψεύσατο· ὅθεν Ἀπόλλων μὲν λιμόν, Ποσειδῶν δὲ θηρίον καὶ πλημμύραν ἔπεμψε τοῖς Τρωσίν· οἱ δὲ χρησμοὶ ἔλεγον τότε παύσειν τὰ κακά, ὅταν προτεθῇ εἰς βορὰν τῷ θηρίῳ Ἡσιόνη ἡ θυγάτηρ Λαομέδοντος. Ταύτην Ἡρακλῆς ἐρρύσατο, συνθεὶς τῷ πατρὶ εἰς γυναῖκα ἀγαγεῖν· ὁ δὲ, καὶ τοῦτον ἐψεύσατο τὴν ὑπόσχεσιν. Ἡρακλῆς δὲ ἀγανακτήσας, τοῦτον ἐφόνευσε, καὶ τὴν πόλιν εἷλε· καὶ Ἡσιόνην Τελαμῶνι ἔδωκεν.

§ 56. Καίτοι,[2] τί τοσοῦτον ἐπεστρατεύσετό τις; Ἐξ νεῶν Ἡρακλῆς ἐδεήθη πρὸς τὴν ἅλωσιν Ἰλίου. Τὰ δὲ νῦν πρὸς ἐπίδειξιν μᾶλλον, ἢ χρείαν παρεσκεύασται χιλίαις ναυσί,[3] καὶ πελαγῶν καλυπτομένων, καὶ τῆς ἠϊόνος οὐκ ἀποχρώσης. Καὶ μὴν[4] καὶ τὸ ἀδίκημα μετριώτερον τοῦ Λαομέδοντος, τοῦ νῦν τετολμημένου. Πολὺ γὰρ ἔλαττον, οἶμαι, δοῦναί τι δέον μὴ βουληθῆναι, ἢ τὰ μὴ προσήκοντα μηδαμόθεν, ἁρπάσαντα ἔχειν· οὐδὲ φανεῖται τοσούτῳ χείρων ὁ Τελαμώνιος Αἴας τοῦ πατρός,[5] τοῦ συνεξελόντος Ἡρακλεῖ Τροίαν, ὥστ' ἐκείνου συνοργισθέντος ἐπ' ἐλάττοσιν, αὐτὸς ἐφ' οὕτω μείζοσι μιμήσασθαι τὸν γεννήσαντα.

§ 57. Τὸ δὲ πάντων σχετλιώτατον, εἰ Θησέως[2] μὲν αὐτὴν τολμήσαντος λαβεῖν, νέαν οὖσαν κομιδῆ καὶ βουλομένου γυναῖκα ποιήσασθαι, πρὸς τῷ μηδένα[3] λυπεῖν· οὐ γὰρ συνῴκει γε οὐδενί, ἔδει μὲν κινεῖσθαι τὴν Πελοπόννησον. Ἔδει δὲ πολέμου τὴν Ἀττικὴν ἐμπίπλασθαι, καὶ τὰς Ἀφίδνας[4] πορθεῖσθαι, καὶ πάλιν Ἑλένην ἐπὶ Λακεδαίμονος εἶναι· τῶν δ' ἀλλοφύλων[5] ταῦτ' εἰργασμένων, μετὰ γάμον, ὦ Ζεῦ, καὶ παῖδα[6] μὴ πᾶν ὅσον ἐστὶν ἐν ἡμῖν πρὸς τιμωρίαν ζητῆσαι.

§ 58. Οἶμαι δὲ οὐ μόνον τοῖς ἄλλοις, ἀλλὰ καὶ αὐτῷ καλῶς ἔχειν Ἀλεξάνδρῳ πείθεσθαι. Νῦν μὲν γὰρ τοῦ σεσωκέναι τὴν πόλιν, δόξαν ἀποίσεται· ἐὰν δὲ φιλονεικῶν πέρα τοῦ δέοντος ἐπάγῃ τὰ δυσχερῆ, ὀνείδη[2] μὲν ὅσα ἀκούσεται, σιωπῶ· ἀλλὰ καὶ συμφοραὶ δειναὶ παροξῦναι καὶ κατὰ τῶν οἰκείων τοὺς οἰκείους ἀνιωμένους. Οὕτω τοῖς μὲν ἄλλοις, ὁ πρὸς τοὺς ἔξω πολεμίους μόνος ἐστὶν ἀγών· τούτῳ δὲ καὶ πρὸς ἐκείνους καὶ πρὸς τοὺς οἰκείους·

---

§ 56. 2. Καί τοι.) Πρὸς τούτοις δὲ καὶ τοῦτο ἐνθυμήθητε. — 3. Χιλίαις ναυσί.) Ἐκ γὰρ τοῦ Ὁμήρου λαβόντες αἱ πᾶσαι ναῦς ἦσαν χίλιαι ἑκατὸν τεσσαράκοντα ἕξ· Θουκυδίδης δὲ λέγει αὐτὰς ὡς ἀπὸ Ὁμήρου, χιλίας διακοσίας. Α'. ι. Εὐστάθιος δὲ ἐν Ἰλ. Β'. στίχ. 358. χιλίας ἑκατὸν ὀγδοήκοντα ἓξ λέγει· ὁ δὲ Λιβάνιος ἐν τῇ μελέτῃ ταύτῃ χιλίας ἠρκέσθη εἰπεῖν. — 4. Καὶ μήν.) Πρὸς τούτοις δέ. — 5. Τοῦ πατρός.) Τελαμῶνος συνεξελόντος Ἡρακλεῖ Τροίαν, καὶ λαβόντος Ἡσιόνην.

§ 57. 2. Εἰ Θησέως.) Θησέως ἁρπάσαντος Ἑλένην ἔτι νέαν οὖσαν εἰς γάμον, Κάστωρ καὶ Πολυδεύκης οἱ ἀδελφοὶ ἐστράτευσαν κατ' αὐτοῦ εἰς Ἀθήνας, καὶ ἔλαβον τὴν ἀδελφήν. — 3. Πρὸς τῷ μηδένα.) Οὔτε γάρ τινα ἐλύπει, οὐ γὰρ συνῴκει τινὶ καὶ γυναῖκα δὲ πρὸς τούτοις ἐβούλετο ποιήσασθαι. — 4. Καὶ τὰς Ἀφίδνας.) Δῆμος δὲ αὗται τῆς Ἀττικῆς πολιορκηθεὶς ὑπὸ Κάστορος καὶ Πολυδεύκους τῶν Διοσκούρων διὰ τὴν ἀδελφὴν Ἑλένην. — 5. Τῶν δ' ἀλλοφύλων.) Οἱ μὲν γὰρ περὶ Θησέα, Ἕλληνες· οἱ δὲ Τρῶες ἀλλόφυλοι· εἰργάσαντο δὲ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ γάμον. — 6. Καὶ παῖδα καὶ λπ.) Καὶ Ἑρμιόνην δηλ. παῖδα αὐτῶν οὖσαν, μὴ πᾶν, ὃ ἂν εἴη δυνατὸν ἡμῖν, ζητῆσαι πρὸς τιμωρίαν, καθ' ὅσον παρ' ἡμῖν κεῖται.

§ 58. 2. Ὀνείδη.) Ἐκ τῶν Ὁμήρου ταῦτα. Ἰλ. Γ'. 38. ἔνθα πλάττει Ὅμηρος τὸν Ἕκτορα πρὸς Ἀλέξανδρον λέγοντα.

Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς, ἠπεροπευτά.

Αἴθ' ὄφελες τ' ἄγονος τ' ἔμμεναι ἄγαμός τ' ἀπολέσθαι.

Καί κεν τὸ βουλοίμην· καί κεν πολὺ κέρδιον ἦν.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΙΩΑΝΝΙΝΑ 2006

καὶ τὸ τῆς ἀδοξίας[3] ἐνεπιθήκη. Ταῦτα ἐχρῆν, ὦ Τρῶες, πρὸς ὑμᾶς διελθεῖν, ἵνα πολλὴν τὴν ἐπιήκειαν προδείξαντες, μετὰ τῆς ἀγαθῆς τύχης ἁπτώμεθα τῶν ὅπλων, εἰ τοῦθ᾽ ὑμῖν ἀρέσκοι.

---

## ΕΚ ΤΩΝ

# ΙΣΑΙΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ

## Α΄. Περὶ τοῦ Κλεωνύμου κλήρου.

### Ὑπόθεσις.

Πολύαρχος τρεῖς ἔσχεν υἱούς, Κλεώνυμον, Δεινίαν, καὶ τὸν πατέρα τῶν ἀμφισβητούντων, οὗ ἀποθανόντος, ὑπὸ ἐπιτροπῇς ἦσαν Δεινίου. Κατὰ δὲ τοὺς νόμους ἡ τοῦ Κλεωνύμου περιουσία ἀποθανόντος εἰς τοὺς ἀνεψιοὺς ἔμελλεν ἐλθεῖν. Κλεώνυμος δέ, ὀργιζόμενος κατὰ Δεινίου ἐπιτροπεύοντος τῶν ὀρφανῶν ἀνεψιῶν, ἔγραψε διαθήκας, καὶ ἔθηκε παρὰ τοῖς ἄρχουσιν αὐτάς, συναινοῦντος Πολυάρχου τοῦ πατρὸς μὲν αὐτοῦ, πάππου δὲ τῶν ὀρφανῶν, ἀπέκλεις δὲ ἐν ταῖς διαθήκαις τούτους τοῦ κλήρου. Μετὰ ταῦτα δέ, ἀποθανόντος Δεινίου, μετεμελήθη, καὶ λῦσαι αὐτὰς ἐπεχείρησε, καὶ μετεπέμψατο τὸν Ἀστυνόμον, συνέβη δέ, τοῦ Ἀστυνόμου διατρίβοντος, ἀποθανεῖν Κλεώνυμον· δικάζονται οὖν περὶ τοῦ κλήρου, καὶ τὰς διαθήκας, ἃς παρέχονται οἱ περὶ Φερένικον, καὶ Σίμωνα καὶ Ποσείδιππον ὁμολογοῦσι γράψαι τὸν Κλεώνυμον, καὶ θεῖναι παρὰ τοῖς ἄρχουσιν· ἀλλὰ λέγουσιν, ὅτι μετεμελήθη, ὅτι μετεπέμψατο τὸν Ἀστυνόμον, ὅτι ὁ πάππος αὐτῶν Πολύαρχος προσέταξεν εἴτι πάθοι Κλεώνυμος, δοῦναι αὐτοῖς τὴν οὐσίαν.

§ 1. Πολλὴ μέν[2] ἡ μεταβολή μοι γέγονεν, ὦ ἄνδρες, τελευτήσαντος Κλεωνύμου· ἐκεῖνος γὰρ ζῶν μὲν ἡμῖν κατέλιπε τὴν οὐσίαν, ἀποθανὼν δὲ κινδυνεύειν περὶ αὐτῆς πεποίηκε· καὶ τότε μὲν οὕτως ὑπ᾽ αὐτοῦ σωφρόνως ἐπαιδευόμεθα, ὥστ᾽ οὐδ᾽ ἀκροασόμενοι οὐδέποτ᾽ ἤλθομεν ἐπὶ δικαστήριον, νῦν δὲ ἀγωνιούμενοι περὶ πάντων ἥκομεν τῶν ὑπαρχόντων. Οὐ γὰρ τῶν Κλεωνύμου μόνων ἀμφισβητοῦσιν,[3] ἀλλὰ καὶ τῶν πατρῴων, ὀφείλειν ἐπὶ τούτοις ἐκείνῳ[4] φάσκοντες ἀργύριον. Καὶ οἱ μὲν οἰκεῖοι καὶ οἱ προσήκοντες ἐπὶ τούτοις, οἱ τούτων ἀξιοῦσιν ἡμᾶς καὶ τῶν ὁμολογουμένων, ὧν Κλεώνυμος κατέλιπεν αὐτοῖς, τούτων ἰσομοιρῆσαι· οὗτοι δὲ εἰς τοῦτο ἥκουσιν ἀναισχυντίας,[5] ὥστε καὶ τὰ πατρῷα προσαφελέσθαι ζητοῦσιν ἡμᾶς, οὐκ ἀγνοοῦντες, ὦ ἄνδρες, τὸ δίκαιον, ἀλλὰ πολλὴν ἐρημίαν καταγνόντες.

---

— 3. Καὶ τὸ τῆς ἀδοξίας.) Καὶ ἡ ἀδοξία δηλ. ἐστὶν αὐτῷ προσθήκη· ὅπερ ἐστί· πρὸς δὲ τούτοις προστίθεται αὐτῷ καὶ ἡ ἀδοξία.

§ 1. 2. Πολλὴ μέν.) Ὁ Μὲν βεβαιωτικός, ἀνανταπόδοτος· πολλάκις γὰρ ἐν ἀρχῇ λόγου τίθεται ἀπολύτως. — 3. Ἀμφισβητοῦσιν.) Ὑπακούεται, Ἡμῖν οἱ ἐναντίοι, Ποσείδιππος δηλ. καὶ Διοκλῆς. — 4. Ἐκείνῳ.) Τῷ πατρὶ δηλ. φασὶν ἀργύριον ὀφείλειν Κλεωνύμῳ. — 5. Εἰς τοῦτο ... ἀναισχυντίας.) Ἀντὶ Εἰς τοσαύτην ἀναισχυντίαν.